τὸν μητραλοίαν δ᾽ ἐξέκλεψας ὢν θεός.
2. τί τῶνδ᾽ ἐρεῖ τις δικαίως ἔχειν;
*str.* 2. 1. ἐμοὶ δ᾽ ὄνειδος ἐξ ὀνειράτων μολὸν
ἔτυψεν δίκαν διφρηλάτου
μεσολαβεῖ κέντρῳ
ὑπὸ φρένας, ὑπὸ λοβόν.
2. πάρεστι μαστίκτορος
δαΐου δαμίου
βαρὺ τὸ περίβαρυ κρύος ἔχειν.
*antistr.* 2. 1. τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ
κρατοῦντες τὸ πᾶν δίκας πλέον
φονολιβῆ θρόνον
περὶ πόδα, περὶ κάρα.
2. πάρεστι γᾶς ὀμφαλὸν
προσδρακεῖν αἱμάτων
βλοσυρὸν ἀρόμενον ἄγος ἔχειν.
*str.* 3. 1. ἐφεστίῳ δέ, μάντι, σὸν μιάσματι
μυχὸν ἔχρανας αὐτόσσυτος, αὐτόκλητος,
παρὰ νόμον θεῶν βρότεα μὲν τίων,
παλαιγενεῖς δὲ Μοίρας φθίσας.
*antistr.* 3. 2. κἀμοί γε λυπρὸς καὶ τὸν οὐκ ἐκλύσεται,
ὑπό τε γᾶν φυγὼν οὔποτ᾽ ἐλευθεροῦται,

156. ὡς ἡνίοχος ἔτυψέ με. 158. μέρος τοῦ ἥπατος. 159. λείπει τὸ ὡς. 161. οὐ τὸ τυχόν, ἀλλὰ περισσῶς βαρύ. ἡμᾶς φησι. 163. παρὰ τὸ δίκαιον τὸ πᾶν ἔχοντες. 164. τὸν θρόνον, οὗ Ὀρέστης καθῆστο, πάρεστιν ὁρᾶν φονολιβῆ (φονολειβῆ cod.) ἀπὸ ποδῶν ἕως κεφαλῆς ὅλον. τὸ δὲ γᾶς ὀμφαλόν ἀντὶ τοῦ τὸ (l. τὸν) ἐν Πυθοῖ. διὰ δὲ τούτων ἀποσκευάζειν δοκοῦσι τῆς ἐπικουρίας Ὀρέστου τὸν θεόν. 167. λείπει ὁ καί. ὥστε τὸν ὀφθαλμὸν (ὀμφαλόν Weil.) ἔχειν αἱμάτων ἄγος ἐπαίροντα. 170. αὐτὸς αὑτὸν καλέσας ἐπὶ τῷ μιᾶναι τὸν ναόν. 172. ἡμᾶς, ὅσον ἐπὶ σοί.

---

164. *φονολιβῆ* Arnaldus: *φονολειβῆ* M. *θρόμβον* Wakefieldus. 168. *ἀρόμενον* Abreschius: *αἰρόμενον* M. 169. *σόν* Scholefieldus: *σῶι* M. 170. *μυχὸν* Robortellus: *μυκὸν* M. *ἔχρανας* Turnebus: *ἔχρανάτ᾽* M. 171. *παρὰ νόμον* c: *παρανόμων*, sed *ω* mutato in *ο*, M. 173. *γε* Casaubonus: *τε* M. 174. *φυγών* Porsonus: *φεύγων* M.